**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek HS5-6**

**Pindar**

**First Olympian Ode lines 1-30**

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ 1
ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου· 2
εἰ δ' ἄεθλα γαρύεν 3
ἔλδεαι, φίλον ἦτορ, 4
μηκέτ' ἀελίου σκόπει 5
ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεν-
 νὸν ἄστρον ἐρήμας δι' αἰθέρος, 6
μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν· 7
ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται 8
σοφῶν μητίεσσι, κελαδεῖν 9
Κρόνου παῖδ' ἐς ἀφνεὰν ἱκομένους 10
μάκαιραν Ἱέρωνος ἑστίαν, 11
θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμήλῳ 12
Σικελίᾳ δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν, 13
ἀγλαΐζεται δὲ καί 14
μουσικᾶς ἐν ἀώτῳ, 15
οἷα παίζομεν φίλαν 16
ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν. ἀλλὰ Δω-
 ρίαν ἀπὸ φόρμιγγα πασσάλου 17

**Pindar**

**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek HS5-6**

**First Olympian Ode lines 1-30 / CONTINUED**

λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις 18
νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν, 19
ὅτε παρ' Ἀλφεῷ σύτο δέμας 20
ἀκέντητον ἐν δρόμοισι παρέχων, 21
κράτει δὲ προσέμειξε δεσπόταν, 22
Συρακόσιον ἱπποχάρ-
    μαν βασιλῆα· λάμπει δέ οἱ κλέος 23
ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ· 24
τοῦ μεγασθενὴς ἐράσσατο Γαιάοχος 25
Ποσειδάν, ἐπεί νιν καθαροῦ λέβη-
    τος ἔξελε Κλωθώ, 26
ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον. 27
ἦ θαύματα πολλά, καί πού τι καὶ βροτῶν 28a
φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον 28b
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις 29
    ἐξαπατῶντι μῦθοι. 30

**Theocritus**

**Idyll No. 11 (Cyclops): lines 19-44**

**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek  HS5-6**

Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ᾽ ἀποβάλλῃ,
λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνός,
μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς,
φοιτῇς δ᾽ αὖθ᾽ οὕτως ὅκκα γλυκὺς ὕπνος ἔχῃ με,
οἴχῃ δ᾽ εὐθὺς ἰοῖσ᾽ ὅκκα γλυκὺς ὕπνος ἀνῇ με,
φεύγεις δ᾽ ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα;
Ἠράσθην μὲν ἔγωγε τεοῦς, κόρα, ἁνίκα πρᾶτον
ἦνθες ἐμᾷ σὺν ματρὶ θέλοισ᾽ ὑακίνθινα φύλλα
ἐξ ὄρεος δρέψασθαι, ἐγὼ δ᾽ ὁδὸν ἁγεμόνευον.
Παύσασθαι δ᾽, ἐσιδών τυ καὶ ὕστερον, οὐδέ τί πᾳ νῦν
ἐκ τήνω δύναμαι· τὶν δ᾽ οὐ μέλει, οὐ μὰ Δί᾽, οὐδὲν.
Γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·
οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὧς μία μακρά,
εἷς δ᾽ ὀφθαλμος ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Ἀλλ᾽ ωὑτὸς τοιοῦτος ἐὼν βοτὰ χίλια βόσκω,

**Theocritus**

**Idyll No. 11 (Cyclops): lines 19-44 / CONTINUED**

**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek HS5-6**

κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω
τυρὸς δ᾽ οὐ λείπει μ᾽ οὔτ᾽ ἐν θέρει οὔτ᾽ ἐν ὀπώρᾳ,
οὐ χειμῶνας ἄκρω· ταρσοὶ δ᾽ ὑπεραχθέες αἰεί.
Συρίσδεν δ᾽ ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
τίν τε, φίλον γλυκύμαλον, ἁμᾶ κἠμαυτῷ ἀείδων
πολλάκι νυκτὸς ἀωρί. Τρέφω δέ τοι ἕνδεκα νεβρώς,
πάσας μηνοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Ἀλλ᾽ ἀφίκευσο ποθ᾽ ἁμέ, καὶ ἑξεῖς οὐδὲν ἔλασσον,
τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν·
ἅδιον ἐν τὤντρῳ παρ᾽ ἐμὶν τὰν νύκτα διαξεῖς.

**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek HS5-6**

**Euripides**

**Hippolytus lines 1-28**

Πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος
θεὰ κέκλημαι Κύπρις οὐρανοῦ τ' ἔσω·
ὅσοι τε Πόντου τερμόνων τ' Ἀτλαντικῶν
ναίουσιν εἴσω, φῶς ὁρῶντες ἡλίου,
τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,
σφάλλω δ' ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.
ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε·
τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.
δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα.
ὁ γάρ με Θησέως παῖς, Ἀμαζόνος τόκος,
Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα,
μόνος πολιτῶν τῆσδε γῆς Τροζηνίας
λέγει κακίστην δαιμόνων πεφυκέναι·
ἀναίνεται δὲ λέκτρα κοὐ ψαύει γάμων,
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸς κόρην,
τιμᾶι, μεγίστην δαιμόνων ἡγούμενος,
χλωρὰν δ' ἀν' ὕλην παρθένωι ξυνὼν ἀεὶ

**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek HS5-6**

**Euripides**

**Hippolytus lines 1-28 / CONTINUED**

κυσὶν ταχείαις θῆρας ἐξαιρεῖ χθονός,
μείζω βροτείας προσπεσὼν ὁμιλίας.
τούτοισι μέν νυν οὐ φθονῶ· τί γάρ με δεῖ;
ἃ δ' εἰς ἔμ' ἡμάρτηκε τιμωρήσομαι
Ἱππόλυτον ἐν τῆιδ' ἡμέραι· τὰ πολλὰ δὲ
πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.
ἐλθόντα γάρ νιν Πιτθέως ποτ' ἐκ δόμων
σεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων
Πανδίονος γῆν πατρὸς εὐγενὴς δάμαρ
ἰδοῦσα Φαίδρα καρδίαν κατέσχετο
ἔρωτι δεινῶι τοῖς ἐμοῖς βουλεύμασιν.